## Οἱ ἐν Βορείῳ Ἠπείρῳ Ἅγιοι

**Ἀστίος**
**Βασίλειος**
**Βλαδίμηρος ὁ Ἄναξ**
**Δάναξ**
**Δονᾶτος**
**Ἐλευθέριος**
**Ἑρμείας**
**Θερινός**
**Ἰννοκέντιος**
**Ἰωάννης**
**Ἴσαυρος**
**Ἰωάννης ὁ Κουκουζέλης**
**Καίσαρ ὁ Ἀπόστολος**
**Κοσμᾶς ὁ Ἰσαπόστολος**
**Νήφων**
**Νικόδημος**
**Περεγρίνος**
**Τρύφων**
**Φίληξ**

## Τροπάριον

Ψαλλόμενον Ἀσπαζομένων ὑπό τῶν
πιστῶν τήν εἰκόνα τῶν Ἁγίων

## Ἦχος Β΄

(Ὅτε ἐκ τοῦ ξύλου )

Δῆμος τῶν Ἁγίων Ἀθλητῶν,
καί τῶν Θεοφόρων Πατέρων,
καί Ἀσκητῶν τοῦ Χριστοῦ,
οἱ πᾶσαν τήν Βόρειον Ἤπειρον πράξεσιν,
ἱεραῖς ἁγιάσαντες, τήν ταλαιπωρίαν,
ταύτης καί τήν κάκωσιν, ἤδη σκεδάσατε,
πάντας τούς ἐν ταύτῃ οἰκοῦντας,
τῆς ἐλευθερίας τῆς πάλαι,
ὑμῶν ἀξιοῦντες ταῖς δεήσεσιν.

## Αἴτησις
## Μεγάλης Συναπτῆς

Ὑπέρ τῶν ἐν Βορείῳ Ἠπείρῳ δεινῶς
χειμαζομένων ὁμοδόξων ἀδελφῶν ἡμῶν καί
τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ἐλέησον

## Αἴτησις
## εἰς τήν «Ἐκτενῆ»

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης,
ὑγείας, σωτηρίας, διαφυλάξεως τῶν ἐν
θλίψεσιν, ἀνάγκαις δεινῶς ἐν Βορείῳ
Ἠπείρῳ χειμαζομένων καί καταπιεζομένων
ὁμοδόξων ἀδελφῶν ἡμῶν καί ὑπέρ τοῦ
ἐλευθερωθῆναι αὐτούς ἐν τάχει.

Κύριε ἐλέησον (γ)

Διάσωσον τούς ἐν Βορείῳ Ἠπείρῳ πληθύς
Ἁγίων, τούς ἐν ταύτῃ τῇ χώρᾳ πάσχοντας
δούλους σου, ταῖς πρός Χριστόν
εὐπροσδέκτοις σου μεσιτείαις.

## Ἀπό τούς Χαιρετισμούς
## τῆς Θεοτόκου

Σέ τήν πλέξασαν τῷ κόσμῳ,
ἀχειρόπλοκον στέφανον,
ἀνυμνολογοῦμεν,
Χαῖρε σοι Παρθένε κραυγάζοντας,
τό φυλακτήριον πάντων καί χαράκωμα,
καί κραταίωμα, καί ἱερόν καταφύγιον.

Ἱκετεύομεν, οἱ δοῦλοι σου καί κλίνομεν,
γόνυ καρδίας ἡμῶν ·
κλῖνον τό οὖς σου Ἁγνή,
καί σῶσον τούς θλίψεσι, βυθιζομένους ἡμᾶς,
καί συντήρησον,
πάσης ἐχθρῶν ἁλώσεως,
τήν σήν Πόλιν Θεοτόκε.

**Χαῖρε**, ἀπογεννῶσα
λυτρωτήν αἰχμαλώτοις.

**Χαῖρε**, δι' ἧς ἐγείρονται τρόπαια ·
χαῖρε, δι' ἧς ἐχθροί καταπίπτουσι.

**Χαῖρε**, σκέπη τοῦ κόσμου ,
πλατυτέρα νεφέλης.